## LIX–LXXXVII alia suppositicia vel falso adscripta

### LIX [179B., 158D.; II G.–P.]

*χειμερίην νιφετοῖο κατήλυσιν ἡνίκ' ἀλύξας*
*Γάλλος ἐρημαίην ἤλυθ' ὑπὸ σπιλάδα*
*ὑετὸν ἄρτι κόμης ἀπεμόρξατο, τοῦ δὲ κατ' ἴχνος*
*βουφάγος εἰς κοίλην ἀτραπὸν ἵκτο λέων·*
*αὐτὰρ ὁ πεπταμένῃ μέγα τύμπανον ὃ σχέθε χειρί*
*ἤραξεν, καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν·*
*οὐδ' ἔτλη Κυβέλης ἱερὸν βρόμον ὑλονόμος θήρ*
*μεῖναι, ἀν' ὑλῆεν δ' ὠκὺς ἔθυνεν ὄρος*
*δείσας ἡμιγύναικα θεῆς λάτριν, ὃς τάδε Ῥείᾳ*
*ἐνδυτὰ καὶ ξανθοὺς ἐκρέμασεν πλοκάμους.*

### LX [178B., 157D.; I G.–P.]

*Βοίδιον ηὐλητρὶς καὶ Πυθιάς, αἵ ποτ' ἐρασταί,*
*σοί, Κύπρι, τὰς ζώνας τάς τε γραφὰς ἔθεσαν.*
*ἔμπορε καὶ φορτηγέ, τὸ σὸν βαλλάντιον οἶδεν*
*καὶ πόθεν αἱ ζῶναι καὶ πόθεν οἱ πίνακες.*

### LXI [144B., 145D.]

*οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρόν*
*ἧσο πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά·*
*ἤδη γὰρ χαλκός τε γέρων αὐτά τε τέτρυσαι*
*πυκνὰ κραδαινομένα δαΐῳ ἐν πολέμῳ.*